φιλίαν ἑαυτοῖς καὶ τὴν συμμαχίαν κατὰ τὸ πρότερον. [4]καὶ ἔδωκαν 4
ἐπιστολὰς αὐτοῖς πρὸς αὐτοὺς κατὰ τόπον, ὅπως προπέμπωσιν
αὐτοὺς εἰς γῆν Ιουδα μετ᾽ εἰρήνης.
[5]Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἔγραψεν Ιωνα- 5
θαν τοῖς Σπαρτιάταις
[6]Ιωναθαν ἀρχιερεὺς καὶ ἡ γερουσία τοῦ ἔθνους καὶ οἱ ἱερεῖς 6
καὶ ὁ λοιπὸς δῆμος τῶν Ιουδαίων Σπαρτιάταις τοῖς ἀδελφοῖς χαί-
ρειν. [7]ἔτι πρότερον ἀπεστάλησαν ἐπιστολαὶ πρὸς Ονιαν τὸν ἀρχ- 7
ιερέα παρὰ Ἀρείου τοῦ βασιλεύοντος ἐν ὑμῖν ὅτι ἐστὲ ἀδελφοὶ
ἡμῶν, ὡς τὸ ἀντίγραφον ὑπόκειται. [8]καὶ ἐπεδέξατο ὁ Ονιας τὸν 8
ἄνδρα τὸν ἀπεσταλμένον ἐνδόξως καὶ ἔλαβεν τὰς ἐπιστολάς, ἐν αἷς
διεσαφεῖτο περὶ συμμαχίας καὶ φιλίας. [9]ἡμεῖς οὖν ἀπροσδεεῖς τού- 9
των ὄντες παράκλησιν ἔχοντες τὰ βιβλία τὰ ἅγια τὰ ἐν ταῖς χερσὶν
ἡμῶν [10]ἐπειράθημεν ἀποστεῖλαι τὴν πρὸς ὑμᾶς ἀδελφότητα καὶ 10
φιλίαν ἀνανεώσασθαι πρὸς τὸ μὴ ἐξαλλοτριωθῆναι ὑμῶν· πολλοὶ
γὰρ καιροὶ διῆλθον ἀφ᾽ οὗ ἀπεστείλατε πρὸς ἡμᾶς. [11]ἡμεῖς οὖν 11
ἐν παντὶ καιρῷ ἀδιαλείπτως ἔν τε ταῖς ἑορταῖς καὶ ταῖς λοιπαῖς
καθηκούσαις ἡμέραις μιμνησκόμεθα ὑμῶν ἐφ᾽ ὧν προσφέρομεν
θυσιῶν καὶ ἐν ταῖς προσευχαῖς, ὡς δέον ἐστὶν καὶ πρέπον μνη-
μονεύειν ἀδελφῶν. [12]εὐφραινόμεθα δὲ ἐπὶ τῇ δόξῃ ὑμῶν. [13]ἡμᾶς 12 13
δὲ ἐκύκλωσαν πολλαὶ θλίψεις καὶ πόλεμοι πολλοί, καὶ ἐπολέμησαν
ἡμᾶς οἱ βασιλεῖς οἱ κύκλῳ ἡμῶν. [14]οὐκ ἠβουλόμεθα οὖν παρενο- 14
χλῆσαι ὑμῖν καὶ τοῖς λοιποῖς συμμάχοις καὶ φίλοις ἡμῶν ἐν τοῖς
πολέμοις τούτοις· [15]ἔχομεν γὰρ τὴν ἐξ οὐρανοῦ βοήθειαν βοη- 15
θοῦσαν ἡμῖν καὶ ἐρρύσθημεν ἀπὸ τῶν ἐχθρῶν, καὶ ἐταπεινώθησαν
οἱ ἐχθροὶ ἡμῶν. [16]ἐπελέξαμεν οὖν Νουμήνιον Ἀντιόχου καὶ Ἀντί- 16
πατρον Ἰάσονος καὶ ἀπεστάλκαμεν πρὸς Ῥωμαίους ἀνανεώσασθαι
τὴν πρὸς αὐτοὺς φιλίαν καὶ συμμαχίαν τὴν πρότερον. [17]ἐνετειλά- 17
μεθα οὖν αὐτοῖς καὶ πρὸς ὑμᾶς πορευθῆναι καὶ ἀσπάσασθαι ὑμᾶς
καὶ ἀποδοῦναι ὑμῖν τὰς παρ᾽ ἡμῶν ἐπιστολὰς περὶ τῆς ἀνανεώσεως
καὶ τῆς ἀδελφότητος ἡμῶν. [18]καὶ νῦν καλῶς ποιήσετε ἀντιφωνή- 18
σαντες ἡμῖν πρὸς ταῦτα.
[19]Καὶ τοῦτο τὸ ἀντίγραφον τῶν ἐπιστολῶν, ὧν ἀπέστειλαν Ονια 19
[20]Ἄρειος βασιλεὺς Σπαρτιατῶν Ονια ἱερεῖ μεγάλῳ χαίρειν. 20
[21]εὑρέθη ἐν γραφῇ περί τε τῶν Σπαρτιατῶν καὶ Ιουδαίων ὅτι 21

3 εαυτοις] ε > A || 4 αυτους $1^0$] τους *L* || 5 το > A: post -το || 6 και η γερ./του εθν.] tr. A† || 7 ετι] επι $S^c$ = επει *L* | αρειου: sic Fr. secutus Ioseph. Ant. XII 225 Niese; codd. δαρ(ε)ιου | ως] ω S*† || 8 επεδεξ.] απ. $S^c$ | ο > A mu. || 9 init.] pr. και A mu. || 11 τε > A | ταις $2^0$] pr. εν A | θυσιων] -ιαν SV† || 14 παρενοχλησαι] -λειν A || 15 ουρανου] -νων A pau. | εχθρων $SV^cLa$†] + ημων rel. || 18 ποιησετε] εποιησαται(pro -τε) A† || 19 ων > A† | απεστειλαν] -λεν $S^c$*L* || 20 αρειος Fr. (cf. 7)] αρης uel sim. mss.